ΗΛ. ἐπεὶ τί νῦν ἕκατι δαιμόνων κυρῶ;
ΟΡ. εἰς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι.
ΗΛ. καὶ τίνα σύνοισθά μοι καλουμένηι βροτῶν,
ΟΡ. σύνοιδ᾽ Ὀρέστην πολλά σ᾽ ἐκπαγλουμένην.
ΗΛ. καὶ πρὸς τί δῆτα τυγχάνω κατευγμάτων;
ΟΡ. ὅδ᾽ εἰμί· μὴ μάτευ᾽ ἐμοῦ μᾶλλον φίλον.
ΗΛ. ἀλλ᾽ ἦ δόλον τιν᾽, ὦ ξέν᾽, ἀμφί μοι πλέκεις;
ΟΡ. αὐτὸς καθ᾽ αὑτοῦ τἄρα μηχανορραφῶ.
ΗΛ. ἀλλ᾽ ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾶν θέλεις;
ΟΡ. κἀν τοῖς ἐμοῖς ἄρ᾽, εἴπερ ἔν γε τοῖσι σοῖς.
ΗΛ. ὡς ὄντ᾽ Ὀρέστην τάδε σ᾽ ἐγὼ προσεννέπω;
⟨ΟΡ.⟩ αὐτὸν μὲν οὖν ὁρῶσα δυσμαθεῖς ἐμέ,
κουρὰν δ᾽ ἰδοῦσα τήνδε κηδείου τριχός
ἰχνοσκοποῦσά τ᾽ ἐν στίβοισι τοῖς ἐμοῖς
ἀνεπτερώθης κἀδόκεις ὁρᾶν ἐμέ,
[σαυτῆς ἀδελφοῦ συμμέτρου τῶι σῶι κάραι]
σκέψαι τομῆι προσθεῖσα βόστρυχον τριχός.
ἰδοῦ δ᾽ ὕφασμα τοῦτο, σῆς ἔργον χερός,
σπάθης τε πληγὰς ἠδὲ θήρειον γραφήν.
ἔνδον γενοῦ, χαρᾶι δὲ μὴ ᾽κπλαγῆις φρένας·
τοὺς φιλτάτους γὰρ οἶδα νῶιν ὄντας πικρούς.
ΗΛ. ὦ φίλτατον μέλημα δώμασιν πατρός,
δακρυτὸς ἐλπὶς σπέρματος σωτηρίου,
ἀλκῆι πεποιθὼς δῶμ᾽ ἀνακτήσηι πατρός.
ὦ τερπνὸν ὄμμα τέσσαρας μοίρας ἔχον
ἐμοί· προσαυδᾶν δ᾽ ἔστ᾽ ἀναγκαίως ἔχον
πατέρα σέ, καὶ τὸ μητρὸς ἐς σέ μοι ῥέπει
στέργηθρον· ἡ δὲ πανδίκως ἐχθαίρεται·
καὶ τῆς τυθείσης νηλεῶς ὁμοσπόρου·
πιστὸς δ᾽ ἀδελφὸς ἦσθ᾽ ἐμοὶ σέβας φέρων.

---

215 ἐξηύκου  217 -μένης M  ἐκπάγλως θαυμάζουσαν Σ  219 μάστευε  221 ταρρα  222 ἐμοῖσιν corr. Turn.  224 τάδ᾽ ἐγώ σε προυννέπω corr. Arnaldus. qui numeros vituperant enclisin et elisionem neglegunt

225 οὖν Turn. νῦν M  μὲν οὖν cum indignatione quadam corrigentis est „re vera Orestem his te compello?“ „imo me quidem ipsum agnoscere tardas“  227. 28 trai. Robort.  229 a multis mutatum traiectum eiectum nulli loco convenire patet; factus est ut post 226 legeretur  230 σκέψαιτο μή distinxit Turn.  232 ἠδέ Turn. εἰς δέ M  θηρίον  233 μὴκπλαγιῆ superaddito ι corr. Turn.  240 σέ Schütz τε M  243 deflectit ab enumeratione copulativa, cum frater non tantum fratrem se praestiterit, sed quasi pater aut rex venerandus ei appareat.